καὶ καθ' ἑκάστην δὴ τῶν κατηγοριῶν ὁμοίως. A ἀλλ' ἄτοπον, εἰ τὰ αὐτὰ πάντων· ἐκ τῶν αὐτῶν γὰρ ἔσται τὰ πρός τι, καὶ ἡ οὐσία. τί οὖν τοῦτ' ἔσται; παρὰ γὰρ τὴν οὐσίαν, καὶ τὰ ἄλλα τὰ κατηγορούμενα, οὐδέν ἐστι κοινόν· πρότερον δὲ τὸ στοιχεῖον, ἢ ὧν στοιχεῖον. ἀλλὰ μὴν οὐδὲ ἡ οὐσία στοιχεῖον τῶν πρός τι, οὐδὲ τούτων οὐδὲν τῆς οὐσίας. ἔτι πῶς ἐνδέχεται πάντων εἶναι τὰ στοιχεῖα ταὐτά; οὐδὲν γὰρ οἷόν τ' εἶναι τῶν στοιχείων, τῷ ἐκ τῶν στοιχείων συγκειμένῳ τὸ αὐτό· οἷον τῷ β α, τὸ β ἢ α. οὐδὲ δὴ B τῶν νοητῶν στοιχεῖόν ἐστιν· οἷον τὸ ἓν, ἢ τὸ ὄν. ὑπάρχει γὰρ ταῦτα ἑκάστῳ τῶν συνθέτων. οὐδὲν ἄρα ἔσται αὐτῶν, οὔτ' οὐσία, οὔτε πρός τι, ἀλλ' ἀναγκαῖον. οὐκ ἔστιν ἄρα πάντων ταὐτὰ στοιχεῖα. ἢ ὥσπερ λέγομεν, ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ· οἷον ἴσως τῶν αἰσθητῶν σωμάτων, ὡς μὲν εἶδος τὸ θερμόν, καὶ ἄλλον τρόπον τὸ ψυχρόν, ἡ στέρησις. ἡ ὕλη δὲ τὸ δυνάμει ταῦτα πρῶτον C καθ' αὑτόν. οὐσίαι δὲ ταῦτά τε καὶ τὰ ἐκ τούτων, ὧν αἱ ἀρχαὶ ταῦτα. ἢ εἴ τι ἐκ θερμοῦ καὶ ψυχροῦ γίνεται ἕν, οἷον σάρξ, ἢ ὀστοῦν· ἕτερον ἀνάγκη ἐκείνων εἶναι τὸ γινόμενον· τούτων μὲν οὖν ταῦτα στοιχεῖα καὶ ἀρχαί, ἄλλων δ' ἄλλα. πάντων δὲ οὕτως μὲν εἰπεῖν, οὐκ ἔστι· τῷ ἀνάλογον δέ· ὥσπερ εἴ τις εἴποι, ὅτι ἀρχαί εἰσι τρεῖς, τὸ εἶδος, καὶ ἡ στέρησις, καὶ ἡ ὕλη. D ἀλλὰ τούτων ἕκαστον, ἕτερον περὶ ἕκαστον γένος ἐστίν· οἷον ἐν χρώματι λευκόν, μέλαν, ἐπιφάνεια· φῶς, σκότος, ἀήρ· ἐκ δὲ τούτων, ἡμέρα καὶ νύξ. ἐπεὶ δὲ οὐ μόνον τὰ ἐνυπάρχοντα αἴτια, ἀλλὰ καὶ τῶν ἐκτός, οἷον τὸ κινοῦν, δῆλον ὅτι ἕτερον ἀρχὴ καὶ στοιχεῖον. αἴτια δ' ἄμφω· καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή. τὸ δ' ὡς κινοῦν ἢ ἱστῶν, ἀρχή τις καὶ οὐσία. ὥστε στοιχεῖα μὲν κατὰ ἀναλογίαν, τρία· αἴτιαι δὲ καὶ ἀρχαί, E τέσσαρες· ἄλλο δ' ἐν ἄλλῳ, καὶ τὸ πρῶτον αἴτιον, ὡς κινοῦν, ἄλλο ἄλλῳ. ὑγίεια, νόσος, σῶμα· τὸ κινοῦν, ἰατρική. εἶδος, ἀταξία τοιαδί, πλίνθοι· τὸ κινοῦν, οἰκοδομική. καὶ δὴ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή. ἐπεὶ δὲ τὸ κινοῦν, ἐν μὲν τοῖς φυσικοῖς ἄνθρωπος, ἐν δὲ τοῖς ἀπὸ διανοίας τὸ εἶδος, ἢ τὸ ἐναντίον, τρόπον τινὰ τρία αἴτια ἂν εἴη, ὡδὶ δὲ τέτταρα. ὑγίεια F γάρ πως ἡ ἰατρική, καὶ οἰκίας εἶδος, ἡ οἰκοδομική· καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ. ἔτι

& eodem modo in quolibet prædicamento. At absurdum est, si omnium eadem sunt: ex eisdem enim erit ad aliquid, & substantia. Quid igitur hoc erit? præter enim substantiam, & alia, quæ prædicantur, nihil commune est. Prius autem elementum est, quàm ea, quorum est elementum. At vero nec substantia, eorum quæ ad aliquid sunt, elementum est, nec aliquid horum, substantiæ. Item quo modo continget, omnium eadem esse elementa? Nullum enim elementorum idem potest esse ei, quod ex elementis componitur: veluti ipsi b a, ipsum b, & ipsum a. Neque sanè vllum intellectualium, vt vnum vel ens elementum est: hæc enim, vnicuique compositorum insunt. Nullum igitur eorum, neque substantia, nec ad aliquid erit. At necessarium est: non sunt ergo omnium eadem elementa. An (vt diximus quodam modo quidem sunt, quodam modo verò non? veluti fortassis corporum sensibilium, calidum tãquam species, & alio modo frigidum, vt priuatio. Materia verò, quod primo per se potentia hæc erat: substantiæ vero, tum hæc, tum ea ex iis, quorum hæc principia sunt. Aut si quid ex frigido, & calido fit vnum, vt caro, aut os, necesse profectò est aliud ab his esse illud, quod factum est. Horum itaque eadem elementa, atque principia sunt, alia verò aliorum. Omnium verò ita quidem dicere non est, sed analogicè. Quemadmodum si quis dicat, quòd principia sunt tria, species, priuatio, & materia: verùm vnumquodque horum, circa vnumquodque genus aliud est: vt in coloribus, album, nigrum, superficies: lumen, tenebræ, aër: ex his verò dies, & nox. Cùm verò illæ non solùm, quæ insunt, causæ sint, verùm etiam ex iis quæ extrinseca sunt, illud quod mouet, patet quod aliud est principium, aliud elementum, Ambo vero, causæ sunt: & principium in hæc diuiditur. Quod autem vt mouens vel sistens est, principium quoddam, & substantia est. Quare elementa quidem analogicè tria, causæ vero, atque principia quatuor: aliud vero in alio, & prima causa, vt mouens, in alio alia, sanitas, morbus, corpus, mouens, ars medendi: species inordinatio talis, lateres, mouens ædificatiua: & nimirum in hęc diuiditur principium. Cùm autem mouens, in naturalibus quidem homo: in iis vero, quæ à mẽte fiunt, ipsa species, vel contrarium sit, modo quodam tres profectò causæ erunt, alio vero modo quatuor. Sanitas nanque, quodam modo est ars medendi & ædificatiua, species domus: & homo, hominem generat: præ-